ὄχλος ὡς ἔοικε. στρώματ' ἀδιήγηθ' ὅσα
φέρεις.
(Γε.) τί δ' ἐγ[ω...]
[Cι.] †ἔρειcον ταῦτα δεῦρο.
⟨Γε.⟩ ἰδού.
ἐὰν ἴδηι γὰρ ἐνύπνιον τὸν Πᾶνα τὸν
Παιανιοῖ, τούτωι βαδιούμεθ', οἶδ' ὅτι,
θύcοντες εὐθύς.
(Cι.) τίς δ' ἑόρακεν ἐνύπνιον;
(Γε.) ἄνθρωπε, μή με κόπτε.
(Cι.) ὅμως εἶπον, Γέτα.
τίς εἶδεν;
(Γε.) ἡ κεκτημένη.
(Cι.) τί πρὸς θεῶν;
(Γε.) ἀπολεῖς. ἐδόκει τὸν Πᾶνα—
(Cι.) τουτονὶ λέγεις;
(Γε.) τοῦτον.
(Cι.) τί ποιεῖν;
(Γε.) τῶι τροφίμωι τῶι Cωcτράτωι—
(Cι.) κομψῶι νεανίcκωι γε.
(Γε.) περικρούειν πέδας.
(Cι.) Ἄπολλον.
(Γε.) εἶτα δόντα διφθέραν τε καὶ
δίκελλαν ⟨ἐν⟩ τοῦ πληcίον τῶι χωρίωι
cκάπτειν κελεύειν.
(Cι.) ἄτοπον.
(Γε.) ἀλλὰ θύομεν
διὰ τοῦθ', ἵν' εἰς βέλτιον ἀποβῆι τὸ φοβερόν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/73 UNIVERSITÄT LEIPZIG